πανοπλίαν μὲν οὐχί·
τί γὰρ μάχαισι κἀμοί;
ποτήριον δὲ κοῖλον
ὅσον δύνηι βαθύνας.
ποίει δέ μοι κατ᾽ αὐτοῦ
μήτ᾽ ἄστρα μήτ᾽ Ἄμαξαν,
μὴ στυγνὸν Ὠρίωνα·
τί Πλειάδων μέλει μοι,
τί γὰρ καλοῦ Βοώτου;
ποίησον ἀμπέλους μοι,
καὶ βότρυας κατ᾽ αὐτῶν,
καὶ Μαινάδας τρυγώσας·
ποίει δὲ ληνὸν οἴνου
ληνοβάτας πατοῦντας
τοὺς Σατύρους γελῶντας
καὶ χρυσέους Ἔρωτας
καὶ Κυθέρην γελῶσαν
ὁμοῦ καλῶι Λυαίωι.
{Ἔρωτα κἀφροδίτην.}

## 5 (4 B.)

Καλλιτέχνα, τόρευσον
ἔαρος κύπελλον ἤδη·
τὰ πρῶτ᾽ ἡμῖν τὰ τερπνά
ῥόδα φέρουσαν ὤρην.
ἀργύρεον δ᾽ ἁπλώσας
ποτὸν ποίει μοι τερπνόν·
τῶν τελετῶν, παραινῶ,
μὴ ξένον μοι τορεύσηις,
μὴ φευκτὸν ἱστόρημα·
μᾶλλον ποίει Διὸς γόνον,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408079479/12 UNIVERSITÄT LEIPZIG